ζευγῖ), οἱ δὲ κάτω θαλάμιοι. ὁ δὲ λόγος, εἰ οἱ Ὀδομαντες τοσαῦτα λαμβάνουσι, ὅταν τὸ παρ᾽ ἡμῖν ναυτικὸν πλῆθος ἀγανακτήσει, πολλὰ μὲν ἐν τῇ τριήρεσι καμόντες, ὀλίγα δὲ λαμβάνοντες. Οἴμοι τάλας.] δεῖ νοεῖν ὅτι ἐκ τῶν ἀγρῶν ἔρχεται ὁ Δικαιόπολις ἔχων φορτίον σκορόδων. καὶ ἠπηρεάζετο ὑπὸ τῶν ξένων ὡς ἐκείνων λι-

A μωτιόντων καὶ ἁρπαζόντων τὰ σκόροδα. τοῦτο δὲ ἔστι πορθουμένος, παρόζων καὶ οἱ πορθούμενοι ἀπόλλυνται, ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες. θερμαίνει γὰρ τὰ σκόροδα φυσικῶς, οἱ δὲ Θρᾷκες, ψυχρὰν χώραν νέμονται.

Θε. Οὐ καταβαλεῖτε τὰ σκόροδα, ὦ μόχθηρε σύ,
Οὐ μὴ πρόσει τοῦτ᾽ ἴσιν ἐσκοροδισμένοις.
B Δι. Ταυτὶ περιείδεθ᾽ οἱ Πρυτάνεις πάσχοντά με
Ἐν τῇ πατρίδι, καὶ ταῦθ᾽ ὑπ᾽ ἀνδρῶν βαρβάρων;
Ἀλλ᾽ ἀπαγορεύω μὴ ποιεῖν ἐκκλησίαν
Τοῖς Θρᾳξὶ περὶ μισθοῦ, λέγω δ᾽ ὑμῖν, ὅτι
Διοσημία ᾽στὶ καὶ ῥανίς, βέβληκέ με.
Κη. Τοὺς Θρᾷκας ἀπιέναι, παρεῖναι δ᾽ εἰς ἔνην.
Οἱ γὰρ Πρυτάνεις λύουσι τὴν ἐκκλησίαν.

PR. *Non abiicietis allia. hem scelesté, ne*
*Accedas huc, alliatos hos viros.*
*Haeccine pati me sinitis, vrbis praesides,*
*In patria, & à viris quidem tam barbaris?*
*Sed interdico ego vobis, ne stipendij*
*Causa conuentum agatis hisce Thracibus:*
*Et dico vobis, quod malum signum obuenit:*
*Et iam gutta sinistrae pluuiae me perculit.*
PR. *Abite Thraces: & adeste ad trigesimam;*
*Nam concionem dimittunt nunc praesides.*

Σχόλια. Οὐ μὴ πρόσει.] οὐ καταβαλεῖτε. ὁ Θέωρος δὲ ἐπιπλήττει τοῖς βαρβάροις ἁρπάζουσι τὰ σκόροδα. καὶ τῷ Δικαιοπόλιδι ὁμοίως ἐπιπλήττει ἐρεθίζοντι αὐτούς. ἄλλως. ἀντὶ τοῦ σφοδροῖς οὖσι καὶ πικροῖς γενομένοις, μετειληφόσι τῶν σκορόδων, ἀπὸ μεταφορᾶς τῶν ἀλεκτρυόνων τούτοις γὰρ ὅτε μέλλουσι μάχεσθαι σκόροδα δίδοται ἐσθίειν, ἵνα θερμανθέντες ὀξύτεροι γένωνται. ὡς καὶ ἐν ἱππεῦσι φησὶν ἵν᾽ ἄμεινον ὦ τᾶν ἐσκοροδισμένος μάχῃ. Διοσημία ᾽στί.] παρεφυλάττοντο γὰρ οἱ Ἀ-

C θηναῖοι τὰς τοῦ Διὸς ἡμέρας, καὶ ἔλυον τὰς ἐκκλησίας διοσημίας γενομένης, ἢ ἄλλοτι μέλλοντες ἀνύειν. διοσημία δέ ἐστιν ὁ παρὰ καιρὸν χειμών. Παρεῖναι δ᾽ εἰς ἔνην.] ἤγουν εἰς τρίτην. μηδ᾽ ἀναβάλλεσθαι ἐς αὔριον, ἐς ἔννηφι. τινὲς δὲ, εἰς τριακάδα. διαλυθείσης δὲ τῆς ἐκκλησίας, συνήγοντο πάλιν βουλόμενοι περὶ τῶν αὐτῶν. Ἀττικοὶ δὲ καλοῦσιν ἔνην καὶ τὴν παλαιάν. καὶ Δημοσθένης ἐν τῷ κατ᾽ Ἀριστογείτονος τὰς ἔνας ἀρχὰς, τὰς νέας ὑπεξιέναι.

D

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ, Σκηνὴ πέμπτη.

## ACTVS I. SCENA quinta.

ΔΙΚΑΙΟΠΟΛΙΣ, ΑΜΦΙΘΕΟΣ.

DICAEOPOLIS, AMPHITHEVS.

Δικ. Οἴμοι τάλας, μυττωτὸν ὅσον ἀπώλεσα.
E Ἀλλ᾽ ἐκ Λακεδαίμονος γὰρ Ἀμφίθεος ὁδί,
Χαῖρ᾽ Ἀμφίθεε. Αμφιθ. μήπω γε πρὶν ἂν στῶ τρέχων.
Δεῖ γάρ με φεύγοντ᾽ ἐκφυγεῖν Ἀχαρνέας.
Δικ. Τί δ᾽ ἐστί. Αμφιθ. Ἐγὼ μὲν δεῦρό σοι σπονδὰς φέρων
Ἔσπευδον, οἱ δ᾽ ὤσφροντο πρεσβῦταί τινες
F Ἀχαρνικοί, στιπτοὶ γέροντες, πρίνινοι,
Ἀτεράμονες, μαραθωνομάχαι, σφενδάμνινοι.
Ἔπειτ᾽ ἀνέκραγον πάντες, ὦ μιαρώτατε,
Σπονδὰς φέρεις τῶν ἀμπέλων τετμημένων;
Κἀς τοὺς τρίβωνας ξυνελέγοντο τῶν λίθων.
Ἐγὼ δ᾽ ἔφευγον, οἱ δ᾽ ἐδίωκον, κἀβόων.
G Δικ. Οἱ δ᾽ οὖν βοώντων, ἀλλὰ τὰς σπονδὰς φέρεις;
Αμ. Ἔγωγέ φημι, τρία γε ταυτὶ γεύματα.

DI. *Ah me miserum, quantum alliati perdidi!*
*Sed hicne Amphitheus? redit huc è Lacedaemone.*
*Salue Amphithee.* AM. *nondum, priusquam cursum inhibeo,*
*Nam Acharnenses fugientem effugere oportuit.*
DI. *Quid est?* AM. *properabam huc, vt pacem afferrem tibi.*
*Hoc continuò olfecerunt hîc quidam senes:*
*Acharnici, duri senes, ilignei:*
*Acerni, praeliatores Marathonij,*
*Praefracti. hi clamabant omnes: heus perfide,*
*Pacémne fers, excisis nostris vitibus?*
*Mox lapides colligebant, in vestes suas;*
*Ego effugi; illi persequebantur procul*
*Cum vociferatione, & plurimis minis.*
DIC. *Sine, vociferentur. sed tu num fers foedera?*
AM. *Ita loquor, & quidem tres gustus affero:*

Σχόλια. Μυττωτόν.] ἀντὶ τοῦ σκόροδα ἐξ ὧν ὁ μυττωτὸς γίνεται. κατασκευάζεται δὲ, ἀπὸ τυροῦ καὶ σκορόδου καὶ ᾠοῦ. ἀπὸ τοῦ παντὸς οὖν κατασκευάσματος, τὸ μέρος ἐδήλωσε, τουτέστι τὰ σκόροδα. Μήπω γε.]